ἓν ὄν, πολλὰς ποιεῖ. ὁμοίως δ' ἔχει καὶ τὸ ἄρρεν πρὸς τὸ θῆλυ. τὸ μὲν γὰρ ὑπὸ μιᾶς πληροῦται ὀχείας, τὸ δ' ἄρρεν πολλὰ πληροῖ. καίτοι ταῦτα μιμήματα τῶν ἀρχῶν ἐκείνων ἐστί. Πλάτων μὲν οὖν περὶ τῶν ζητουμένων οὕτως διώρισε· φανερὸν δ' ἐκ τῶν εἰρημένων ὅτι δυοῖν αἰτίαιν ἐστὶ μόνον κεχρημένος, τῇ τε τοῦ τί ἐστι, καὶ τῇ κατὰ τὴν ὕλην. τὰ γὰρ εἴδη τοῦ τί ἐστιν, αἴτια τοῖς ἄλλοις, τοῖς δ' εἴδεσι τὸ ἕν, καὶ τίς ἡ ὕλη ἡ ὑποκειμένη, καθ' ἧς τὰ εἴδη, τὰ μὲν ἐπὶ τῶν αἰσθητῶν, τὸ δ' ἓν, ἐν τοῖς εἴδεσι λέγεται, ὅτι αὕτη δυάς ἐστι τὸ μέγα καὶ τὸ μικρόν. ἔτι δὲ τὴν τοῦ εὖ καὶ τοῦ κακῶς αἰτίαν, τοῖς στοιχείοις ἀπέδωκεν ἑκατέροις ἑκατέραν· ὥσπερ μᾶλλόν φαμεν καὶ τῶν προτέρων ἐπιζητῆσαί τινας φιλοσόφους, οἷον Ἐμπεδοκλέα καὶ Ἀναξαγόραν. συντόμως μὲν οὖν καὶ κεφαλαιωδῶς ἐπεληλύθαμεν τίνες τε καὶ πῶς τυγχάνουσιν εἰρηκότες, περί τε τῶν ἀρχῶν καὶ τῆς ἀληθείας. ὅμως δὲ τοσοῦτόν γ' ἔχομεν ἐξ αὐτῶν, ὅτι τῶν λεγόντων περὶ ἀρχῆς καὶ αἰτίας, οὐδεὶς ἔξω τῶν ἐν τοῖς περὶ φύσεως ἡμῖν διωρισμένων εἴρηκεν, ἀλλὰ πάντες ἀμυδρῶς μὲν, ἐκείνων δέ πως φαίνονται θιγγάνοντες· οἱ μὲν γὰρ ὡς ὕλην τὴν ἀρχὴν λέγουσιν, ἄν τε μίαν, ἄν τε πλείους ὑποθῶσι, καὶ ἐάν τε σῶμα, ἐάν τε ἀσώματον τιθῶσιν· οἷον, Πλάτων μὲν τὸ μέγα καὶ τὸ μικρὸν λέγων· οἱ δ' Ἰταλικοὶ, τὸ ἄπειρον· Ἐμπεδοκλῆς δὲ, πῦρ καὶ γῆν, καὶ ὕδωρ καὶ ἀέρα· Ἀναξαγόρας δὲ τὴν τῶν ὁμοιομερῶν ἀπειρίαν. οὗτοι δὲ δὴ πάντες τῆς τοιαύτης αἰτίας, ἡμμένοι εἰσί, καὶ ἔτι ὅσοι ἀέρα, ἢ πῦρ, ἢ ὕδωρ, ἢ πυρὸς μὲν πυκνότερον, ἀέρος δὲ λεπτότερον, καὶ γὰρ τοιοῦτόν τινες εἰρήκασιν εἶναι τὸ πρῶτον στοιχεῖον. οὗτοι μὲν οὖν ταύτης τῆς αἰτίας ἥψαντο μόνον· ἕτεροι δέ τινες, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ὅσοι φιλίαν καὶ νεῖκος, ἢ νοῦν, ἢ ἔρωτα ποιοῦσιν ἀρχήν· τὸ δὲ τί ἦν εἶναι καὶ τὴν οὐσίαν, σαφῶς μὲν οὐδεὶς ἀποδέδωκε· μάλιστα δ' οἱ τὰ εἴδη καὶ τὰ ἐν τοῖς εἴδεσι τιθέντες λέγουσιν. οὔτε γὰρ ὡς ὕλην τοῖς αἰσθητοῖς τὰ εἴδη, καὶ τὰ ἐν τοῖς εἴδεσιν, οὔθ' ὡς ἐντεῦθεν τὴν ἀρχὴν τῆς κινήσεως γινομένην ὑπολαμβάνουσιν. ἀκινησίας γὰρ αἰτίαν μᾶλλον καὶ τοῦ ἐν ἠρεμίᾳ εἶναί φασιν· ἀλλὰ τὸ τί ἦν εἶναι ἑκάστῳ τῶν ἄλλων τὰ εἴδη παρέχονται, τοῖς δ' εἴδεσι, τὸ ἕν. τὸ δ' οὗ ἕνεκα αἱ πράξεις καὶ αἱ μεταβολαὶ καὶ αἱ κινήσεις,

A quæ vna est, multas facit. Similiter autem & masculus ad fœminam se habet. Hæc etenim ex vno congressu adimpletur: masculus verò multas implet. At ista imitationes illorum principiorum sunt. Plato igitur de propositis quæstionibus ita determinauit. Patet autem ex dictis, quòd duabus causis vtitur solùm ea, quæ ipsius quid est, & ea, quæ secundum materiam. Species enim cæteris ipsius quid sint, cau-
B sæ sunt, speciebus verò ipsum vnum, & quæ subiecta materia, de qua species: illa quidem de sensibilibus, illud verò in speciebus, vnum dicitur, quia dualitas hæc est, magnum, & paruum. Item ipsius bene, ipsiúsque malè, causam elementis attribuit vtrisque vtranque. Quod etiam primorum quosdam philosophorum Empedoclem, & Anaxagoram magis dicimus quæsiuisse. Breuiter igitur, & summatim percurrimus, quinam, & quomodo locuti
C sunt de principiis, & ipsa veritate. Tantum enim ex eis habemus, quòd eorum, qui de principio, & causa dixerunt, nemo quicquam præter ea, quæ in De naturalibus determinata sunt, dixerit: sed omnes, obscurè quidem, illa tamen aliquatenus visi sunt attingere. Quidam enim vt materiam principium ponunt, siue vnam, siue plures supponant, & siue corpus, siue incorpoream ponant, vt Plato magnum,
D & paruum dicens: Italici infinitum: Empedocles ignem, & terram, & aquam, & aërem: Anaxagoras verò, infinitatem similium partium. Hi igitur omnes talem causam perstrinxerunt: & adhæc quicunque aerem, aut ignem, aut aquam, aut igne quidem densius, aëre verò tenuius. Etenim tale quidam dixerunt, primum elementum esse. Hi igitur hanc attigerunt causam solam. Alij verò quidam
E vnde principium motus, quicunque scilicet amicitiam, & contentionem, intellectum, aut amorem principium faciunt. Ipsum verò quod quid erat esse, & substantiam, clarè quidem nullus assignauit: maximè verò dicunt, qui species ponunt: nec enim vt materiam sensibilibus species, & ea, quæ in speciebus sunt, neque tanquam illinc principium motus fieret, putant. Immobilitatis enim causa, & quietis, ma-
F gis eis esse aiunt: sed quod quid erat esse vnicuique cæterorum species attribuunt: speciebus autem, ipsum vnũ. Ipsum verò, cuius gratia actiones, mutationes, & motus, quodam modo quidẽ dicunt causam,